εἰς ὕψος. [18]υἱοὶ Ισσααρ · Σαλωμωθ ὁ ἄρχων. [19]υἱοὶ Χεβρων · Ιδουδ 18 19
ὁ ἄρχων, Αμαδια ὁ δεύτερος, Οζιηλ ὁ τρίτος, Ικεμιας ὁ τέταρτος.
[20]υἱοὶ Οζιηλ · Μιχας ὁ ἄρχων καὶ Ισια ὁ δεύτερος. — [21]υἱοὶ Με- 20 21
ραρι · Μοολι καὶ Μουσι. υἱοὶ Μοολι · Ελεαζαρ καὶ Κις. [22]καὶ ἀπέ- 22
θανεν Ελεαζαρ, καὶ οὐκ ἦσαν αὐτῷ υἱοὶ ἀλλ᾽ ἢ θυγατέρες, καὶ ἔλα-
βον αὐτὰς υἱοὶ Κις ἀδελφοὶ αὐτῶν. [23]υἱοὶ Μουσι · Μοολι καὶ Εδερ 23
καὶ Ιαριμωθ, τρεῖς. — [24]οὗτοι υἱοὶ Λευι κατ᾽ οἴκους πατριῶν αὐτῶν, 24
ἄρχοντες τῶν πατριῶν αὐτῶν κατὰ τὴν ἐπίσκεψιν αὐτῶν κατὰ τὸν
ἀριθμὸν ὀνομάτων αὐτῶν κατὰ κεφαλὴν αὐτῶν, ποιοῦντες τὰ ἔργα
λειτουργίας οἴκου κυρίου ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω. [25]ὅτι εἶπεν 25
Δαυιδ Κατέπαυσεν κύριος ὁ θεὸς Ισραηλ τῷ λαῷ αὐτοῦ καὶ κατ-
εσκήνωσεν ἐν Ιερουσαλημ ἕως αἰῶνος. [26]καὶ οἱ Λευῖται οὐκ ἦσαν 26
αἴροντες τὴν σκηνὴν καὶ τὰ πάντα σκεύη αὐτῆς εἰς τὴν λειτουρ-
γίαν αὐτῆς · [27]ὅτι ἐν τοῖς λόγοις Δαυιδ τοῖς ἐσχάτοις ἐστὶν ὁ 27
ἀριθμὸς υἱῶν Λευι ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, [28]ὅτι ἔστησεν αὐ- 28
τοὺς ἐπὶ χεῖρα Ααρων τοῦ λειτουργεῖν ἐν οἴκῳ κυρίου ἐπὶ τὰς
αὐλὰς καὶ ἐπὶ τὰ παστοφόρια καὶ ἐπὶ τὸν καθαρισμὸν τῶν πάντων
ἁγίων καὶ ἐπὶ τὰ ἔργα λειτουργίας οἴκου τοῦ θεοῦ, [29]εἰς τοὺς ἄρ- 29
τους τῆς προθέσεως, εἰς τὴν σεμίδαλιν τῆς θυσίας καὶ εἰς τὰ λά-
γανα τὰ ἄζυμα καὶ εἰς τήγανον καὶ εἰς τὴν πεφυραμένην καὶ εἰς
πᾶν μέτρον [30]καὶ τοῦ στῆναι πρωὶ τοῦ αἰνεῖν ἐξομολογεῖσθαι τῷ 30
κυρίῳ καὶ οὕτως τὸ ἑσπέρας [31]καὶ ἐπὶ πάντων τῶν ἀναφερομένων 31
ὁλοκαυτωμάτων τῷ κυρίῳ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νεομηνίαις
καὶ ἐν ταῖς ἑορταῖς κατὰ ἀριθμὸν κατὰ τὴν κρίσιν ἐπ᾽ αὐτοῖς διὰ
παντὸς τῷ κυρίῳ. [32]καὶ φυλάξουσιν τὰς φυλακὰς σκηνῆς τοῦ μαρ- 32
τυρίου καὶ τὰς φυλακὰς υἱῶν Ααρων ἀδελφῶν αὐτῶν τοῦ λειτουρ-
γεῖν ἐν οἴκῳ κυρίου.

[1]Καὶ τοῖς υἱοῖς Ααρων διαιρέσεις · υἱοὶ Ααρων Ναδαβ καὶ Αβιουδ, 24
Ελεαζαρ καὶ Ιθαμαρ · [2]καὶ ἀπέθανεν Ναδαβ καὶ Αβιουδ ἐναντίον τοῦ 2
πατρὸς αὐτῶν, καὶ υἱοὶ οὐκ ἦσαν αὐτοῖς · καὶ ἱεράτευσεν Ελεαζαρ
καὶ Ιθαμαρ υἱοὶ Ααρων. [3]καὶ διεῖλεν αὐτοὺς Δαυιδ καὶ Σαδωκ ἐκ 3
τῶν υἱῶν Ελεαζαρ καὶ Αχιμελεχ ἐκ τῶν υἱῶν Ιθαμαρ κατὰ τὴν

18 σαλουμωθ A, sed in 24 22 etiam A σαλωμωθ || 19 υιοι] υιων (ad 18 tractum) B | ιδουδ B†] ιεδουθ compl., ιεδδι uel ιεδδιδια *L*†, ιερια A | αμαδια] αμαρια A: cf. 24 23 | οζιηλ (cf. 12. 20)] ιαζιηλ A | ικεμιας B†] ιεκεμ. A pl. || 20 μιχα A | ισ(ε)ια] ιεσσια AV†, ιωσ(ε)ιας *L*† || 21 μουσ(ε)ι: sic B in 23, sed ομουσει hoc loco et in 24 26, μοουσει B† in 24 30; A ubique μουσι; cf. 6 32 Num. 3 20 | μοολι 2⁰] μοηλ B† | ελιαζαρ A† || 23 εδερ] αιδαθ B†: cf. 24 30 | αρειμωθ B: cf. 24 30 || 24 αυτων 4⁰ > A || 25 ισραηλ τω] tr. A† || 26 τα παντα] tr. A*L*: cf. 2 || 27 υιων λευ(ε)ι] των λευιτων λευι (sic) A† || 28 οικου > B†

24 1 τους υιους B† | διαιρεσει B† | υιοι ααρων > B || 3 αχιμελεκ A, sed in 6. 31 etiam A -λεχ, cf. Regn. I 21 2